καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ ἀνατραπῆναι μηδ' ἀλλοδαπῷ
κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

---

1066 κέ. Αἰτιολογεῖ τὰ ἀμέσως προηγούμενα. — μετὰ μάκαρας, Σχολ. μετὰ τοὺς θεούς. Πρβ. Ἡροδ. 7, 139 τὸ Ἑλληνικὸν οὗτοι (οἱ Ἀθηναῖοι) ἦσαν οἱ ἐπεγείραντες καὶ βασιλέα μετά γε θεοὺς ἀνωσάμενοι. — ὅδε, ὁ Ἐτεοκλῆς. — ἤρυξε, ἐκώλυσε.

1068. ἀλλοδαπῷ, ὡς 1010 ἐπακτόν. Ἡ γραφὴ χειρόνων ἀντιγράφων ἀλλοδαπῶν ἐστιν ἀποδιοπομπητέα, διότι κύματι φωτῶν ἀποτελεῖ μίαν ἔννοιαν (κῦμα στρατοῦ). Πρὸς τὸ κύματι φωτῶν πρβ. 64, 109, Πέρσ. 89 ῥεύματι φωτῶν, αὐτόθι 415 ῥεῦμα στρατοῦ.

1069 κέ. Σχολ. «ἀκολούθως τῷ κύματι καὶ τὸ κατακλυσθῆναι ἐπήνεγκεν». Πρβ. σημ. εἰς στίχ. 2. — τὰ μάλιστα ἀναφέρεται εἰς τὸ ἤρυξε, μετὰ τοὺς θεοὺς ὁ Ἐτεοκλῆς τὰ μάλιστα ἔσωσε τὴν πόλιν. Ἀλλὰ τὰ μάλιστα φαίνεται ὑποσκάζον καὶ παρέλκον καὶ τούτου ἕνεκα ὁ Λουδοβίκος Δινδόρφιος ἀποκατέστησε τὴν συμμετρίαν τῶν δύο ἡμιχορίων γράψας κύματι φωτῶν κατακλυσθῆν. Τὸν δὲ ἀπαρεμφατικὸν τοῦτον τύπον παρ' Αἰσχύλῳ πιστοῦται συνηγοροῦν αὐτῷ χωρίον Ἱκέτ. 797 πρὶν ἄνδρ' ἀπευκτὸν τῷδε χριμφθῆν χροΐ.